ΣΩΚΡΑΤΟΥΣ, ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

1. Εὐσέβιος ὁ Παμφίλου ἐν ὅλοις δέκα βιβλίοις τὴν ἐκκλησιαστικὴν ἱστορίαν ἐκθέμενος κατέπαυσεν εἰς τοὺς χρόνους τοῦ βασιλέως Κωνσταντίνου, ἐν οἷς καὶ ὁ παρὰ τοῦ Διοκλητιανοῦ κατὰ Χριστιανῶν γενόμενος διωγμὸς ἀπεπαύσατο. 2. Γράφων δὲ ὁ αὐτὸς εἰς τὸν βίον Κωνσταντίνου τῶν κατ’ Ἄρειον μερικῶς μνήμην πεποίηται, τῶν ἐπαίνων τοῦ βασιλέως καὶ τῆς πανηγυρικῆς ὑψηγορίας τῶν λόγων μᾶλλον ὡς ἐν ἐγκωμίῳ φροντίσας ἤπερ τοῦ ἀκριβῶς περιλαβεῖν τὰ γενόμενα. 3. Ἡμεῖς δὲ προθέμενοι συγγράψαι τὰ ἐξ ἐκείνου μέχρι τῶν τῇδε περὶ τὰς ἐκκλησίας γενόμενα τῆς ὑποθέσεως τὴν ἀρχὴν ἐξ ὧν ἐκεῖνος ἀπέλιπεν ποιησόμεθα, οὐ φράσεως ὄγκου φροντίζοντες, ἀλλ’ ὅσα ἢ ἐγγράφως εὕρομεν ἢ παρὰ τῶν ἱστορησάντων ἠκούσαμεν διηγούμενοι.

ΣΩΚΡΑΤΟΥΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

(proemium) ΠΡΟΟΙΜΙΟΝ

1. Πρὶν ἀρξώμεθα τῆς ἱστορίας τοῦ πέμπτου βιβλίου, φαμὲν πρὸς τοὺς μέλλοντας ἐντυγχάνειν τῇδε τῇ ὑποθέσει μὴ μέμψασθαι ἡμῖν, ὅτι προθέμενοι ἐκκλησιαστικὴν ἱστορίαν συγγράψασθαι ἐπιμίγνυμεν αὐτῇ καὶ τοὺς κατὰ καιρὸν γενομένους πολέμους, ὅσων τὴν ἱστορίαν μετὰ τῆς ἀληθείας ἠδυνήθημεν γνῶναι. 2. Τοῦτο γὰρ πολλῶν ἕνεκα ποιοῦμεν· <ού μόνον> τοῦ είς γνῶσιν ἄγειν τὰ γινόμενα, άλλὰ γὰρ καὶ τοῦ
μόνον> τοῦ είς γνῶσιν ἄγειν τὰ γινόμενα, άλλὰ γὰρ καὶ τοῦ
τοὺς ἐντυγχάνοντας μὴ προσκορεῖς γενέσθαι ἐκ τοῦ μόνῃ σχολάζειν τῇ φιλονεικίᾳ τῶν ἐπισκόπων καὶ οἷς κατ’ ἀλλήλων ἐτύρευσαν, 3. πρὸ δὲ τούτων, ἵνα γνωσθῇ, ὅπως τῶν δημοσίων ταραττομένων ὡς ἔκ τινος συμπαθείας καὶ τὰ τῶν ἐκκλησιῶν ἐταράττετο. 4. Εἰ γάρ τις παρατηρήσει, συνακμάσαντα εὑρήσει τά τε δημόσια κακὰ καὶ τὰ τῶν ἐκκλησιῶν δυσχερῆ· ἢ γὰρ κατὰ ταὐτὸν κινηθέντα εὑρήσει ἢ ἐπακολουθοῦντα ἀλλήλοις, καὶ ποτὲ μὲν τὰ τῶν ἐκκλησιῶν ἡγούμενα, εἶτα αὖθις ἐπακολουθοῦντα τὰ δημόσια, ποτὲ δὲ τοὔμπαλιν, 5. ὥστε με τὸ διάδοχον τούτων μὴ ἔκ τινος συντυχίας γενέσθαι νομίζειν, ἀλλ’ ἐκ τῶν ἡμετέρων πλημμελημάτων λαμβάνειν τὰς ἀρχάς, τιμωρίας δὲ ἕνεκεν ἐπιφέρεσθαι τὰ κακά, εἴγε κατὰ τὸν ἀπόστολον «τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν, εἰσάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν.»

6. Διὰ ταύτην δὴ τὴν αἰτίαν, τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ καί τινα τῶν δημοσίων πραγμάτων ἐπισυμπλέκομεν.